# 20 OCTOMBRIE

# SLUJBA SF.MARE MUCENIC ARTEMIE DE LA ALEXANDRIA

MIKONOS,1902



062. Ο άγιος Αρτέμιος (19,5 X 13,6 εκ.). Τρίτο τέταρτο 16ου αιώνα.
St Artemius (19.5 X 13.6 cm). Third quarter of the 16th century.

Copyright: The Holy Monastery of Pantokrator

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ*

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

## Α Ρ Τ Ε Μ Ι Ο Υ

ΨΑΛΛΟΜΕΝΗ Τῌ Κ΄ ΤΟΥ ΟΚΤΩΒΡΙΟΥ

### ΕΝ ΜΗΝΙ ΟΚΤΩΒΡΙῼ Κ΄

**Τοῦ ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Ἀρτεμίου**

### ΕΝ Τῼ ΜΙΚΡῼ ΕΣΠΕΡΙΝῼ

**Ἱστῶμεν Στίχ. Δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.**
**Ἦχος Α΄. Τῶν οὐρανίων ταγμάτων...**

Δαβιτικῶς ὥσπερ φοῖνιξ ἐν ταῖς αὐλαῖς τῆς σεπτῆς, τῶν πρωτοτόκων μάρτυς, ἐκκλησίας ἀνθίσας, καρπῷ τῶν σῶν ἀγώνων πάντας ἡμᾶς, ἐπευφράνας διήγειρας, πρὸς ἐγκωμίων ὑπόθεσιν καὶ θερμόν, ζῆλον τοῦτον ἀξιάγαστε.

Δὶς

Ρείθροις αἱμάτων σου θείοις ὄντως ἀπέπνιξας˙ τὸν ἀποστάτην μάρτυς, σὺν αὐτῷ καὶ τὸ στῖφος˙ ἐχθρῶν μὴ φαινομένων, τῶν δὲ πιστῶν, τὴν ὁσίαν ὁμήγυριν, χαρᾶς ἐπλήρωσας θείας ἀγωνισθείς, μέχρις αἵματος Ἀρτέμιε.

www.tezaurliturgic.ro

Δεῦτε πιστοὶ συνελθόντες ἀνευφημήσωμεν, τὸν τοῦ Χριστοῦ ὁπλίτην καὶ γενναῖον φωστῆρα· Ἀρτέμιον τὸν πάνυ τὸν τοῦ ἐχθροῦ, δυναστείας πατήσαντα· τούτῳ βοῶντες ἐν πίστει ὑπὲρ ἡμῶν, τῷ Θεῷ μάρτυς ἱκέτευε.

**Δόξα ἦχος β΄.**

Ἀγγέλους ἔπεισας καὶ ἀνθρώπους ἀγάλλεσθαι τοῖς θαυμασίοις σου, καὶ θαυμάζοντας τὴν ὑπομονήν σου, ἀδαμάντινε Ἀρτέμιε· ὡς ἀδάμας γὰρ ἵστασο ἀκλόνητος ἐν τοῖς παλαίσμασι καὶ τὰς τῶν τυράννων ἀπειλὰς μὴ πτοούμενος, ὑπὲρ αὐτῶν Χριστομιμήτως τὸν Θεὸν ἐδυσώπεις· ὃν καθικέτευε, καὶ ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει ἐκτελούντων τὴν μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.**

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι. Μῆτερ τοῦ Θεοῦ φύλαξόν με ὑπὸ τὴν Σκέπην σου.

**Εἰς τὸν στίχον. Στιχηρὰ ἦχος β΄.**
**Οἶκος τοῦ Εὐφραθᾶ.**

Ἀρτέμιε, λαμπρόν, τῶν ἀθλοφόρων κλέος, καὶ τῶν πιστῶν ἡ δόξα, προσδέχου τὰς αἰτήσεις, τῶν πόθῳ εὐφημούντων σε.

**Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς**
**Ἁγίοις αὐτοῦ.**

Δεῦτε τῶν μοναστῶν τὰ πλήθη συνελθόντα, ἐν τῷ σεπτῷ τεμένει, τοῦ θείου Ἀρτεμίου, ὕμνοις αὐτὸν δοξάσωμεν.

www.tezaurliturgic.ro

**Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.**

Ἁπάντων ὁ φωστὴρ τῶν εὐσεβῶν ὁ μέγας, ἡ τῶν δαιμόνων πτῶσις, τὸ ἀθλητῶν τὸ κλέος Ἀρτέμιος ὑμνείσθω μοι.

**Δόξα. Καὶ νῦν ὅμοιον.**

Πρέσβευε ἐκτενῶς μετὰ τῆς Θεοτόκου, Θεῷ τῷ ἐν Τριάδι ὑπὲρ τῶν ἐκτελούντων καὶ πόθῳ ἀνυμνούντων, τὴν μνήμην σου Ἀρτέμιε.

**Ἀπολυτίκιον ἦχος α΄.**
**Τοῦ λίθου σφραγισθέντος.**

Ποικίλαις βασάνοις ἐναθλήσας μακάριε, ὡς στερρὸς ἀδάμας, τὸν παραβάτην κατήσχυνας· καὶ γὰρ ἐν πέτρα μεγίστη πιεσθείς, διὰ τὴν πέτραν Χριστὸν καὶ αἰκισθείς, στέφος ἐδέξω τοῦ μαρτυρίου, Μεγαλομάρτυς Ἀρτέμιε. Δόξα τῷ δεδοκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

**Δόξα, καὶ νῦν.**
**Τοῦ Γαβριὴλ φθεγξαμένου.**
**καὶ ἀπόλυσις.**

www.tezaurliturgic.ro

# Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ

**Μετὰ τὸν Προοιμιακὸν ψάλλωμεν τὸ Μακάριος ἀνήρ, τὸ α΄ ἀντίφωνον. Εἰς δὲ τό Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους η΄ καὶ ψάλλωμεν τὰ παρόντα Στιχηρά Προσόμοια.**

**Ἦχος β΄. Ποίοις εὐφημιῶν στέμμασι.**

Ποίοις εὐφημιῶν στέμμασι, στεφανώσωμεν τὸν ἀθλοφόρον, τὸν ἐν οὐρανοῖς διαιτώμενον, καὶ πνευματικῶς, πάντας προφθάνοντα, τοὺς εἰλικρινῶς αὐτὸν ποθοῦντας, τὸν πάντων, προασπιστὴν καὶ ἀντιλήπτορα, τὸ μέγα, τῶν ἀσθενούντων παραμύθιον· τὸ ἀρραγέστατον τοῖχος, τῶν αὐτὸν ποθούντων, τὸν δι᾽ οὗ δαιμόνων ὀφρῦν Χριστὸς κατεβέβληκεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Δίς.

Ποίοις εὐωδιῶν ἄνθεσιν, ἀναδήσωμεν τὸν ἀθλοφόρον, τῶν παθῶν Χριστοῦ τὸ ἐσφράγισμα, καὶ τὸν ἀψευδέστατον μάρτυρα, τῆς αὐτοῦ Θεότητος καὶ δόξης· τὸν πάντα, τά ἐπί γῆς ἀπαρνησάμενον, καὶ μόνα τὰ ἐπουράνια

www.tezaurliturgic.ro

ποθήσαντα· ὅθεν αὐτὸν ἐπαξίως, ἀθανάτου δόξης, διαδήμασι στεφανοῖ Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Πᾶσαν ἀντ' οὐδενὸς θέμενος, τὴν ἐπίγειον εὔκλειαν Μάρτυς· ἔσπευσας τῆς ἄνω κληρώσασθαι, ἥν περ ὁ πατὴρ ὁ Θεὸς δίδωσι, τοῖς ἐντάλματα τηροῦσι· καὶ θέλων, Χριστοῦ μιμήσασθαι τὸ πάθημα, τρανῶς τοῦτον ἀνεκήρυττες Ἀρτέμιε· Ἰουλιανοῦ ἔμπροσθεν μάκαρ, καὶ τυχὼν τοῦ πόθου, νῦν πρεσβεύεις Θεῷ ἡμῖν πταισμάτων τὴν ἄφεσιν, δωρηθῆναι τοῖς σὲ δοξάζουσι.

**Ἕτερα στιχηρὰ προσόμοια τοῦ Ἁγίου.**
**Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.**

Τῶν οὐρανίων τὰ κάλλη ποθήσας ἔνδοξε· καὶ τῷ Χριστῷ συνεῖναι, μετ' ἁγίων Ἀγγέλων· παντοίας τὰς βασάνους ὑπέστης στερρῶς, καὶ τυράννων ὠμότητα· καὶ μαρτυρήσας γενναίως ὑπὲρ Χριστοῦ, συνευφραίνῃ τῶν Μαρτύρων χοροῖς.

Δίς.

Μαρμαρυγαῖς ἀκηράτοις καταστραπτόμενος, τοῦ νοητοῦ ἡλίου, ὦ Ἀρτέμιε Μάρτυς, ὁλόφωτος ἐδείχθης ὅλος Θεὸς κατὰ χάριν πανένδοξε, διὸ Χριστῷ συνυπάρχων ἐν οὐρανοῖς, ὑπὲρ κόσμου παντὸς πρέσβευε.

Τίς οὖν ἀξίως τοὺς ἄθλους ἐκδιηγήσεται, Ἀρτέμιε τρισμάκαρ οὓς ἀνέτλης γενναίως, ἅπασαν ἰδέαν τιμωριῶν, ἀπελέγξας ἀνίσχυρον· πρὸς τὸν ἐνόντα σοι πόθον ὑπὲρ Χριστοῦ, τοῦ σε νῦν ἀντιδοξάσαντος.

www.tezaurliturgic.ro

Δόξα ἦχος Πλ. α΄.

Σήμερον, ἡμέραν ὑπέρλαμπρον, καὶ ἔαρ πανευφρόσυνον, ἀνέτειλε τοῖς πέρασιν, ἡ πάνσεπτος πανήγυρις τοῦ ἀθλοφόρου, λαμπρύνουσα τῶν εὐσεβῶν τὰς καρδίας, καὶ τοῖς θαύμασιν ὡς ἄνθεσι τοὺς πιστοὺς εὐωδιάζουσα. Δεῦτε οὖν ἅπαντες πιστοὶ εὐφρανθῶμεν τῷ πνεύματι, καὶ τὰς χεῖρας κροτήσωμεν, ἐπὶ τῇ λαμπρᾷ καὶ σεβασμίᾳ μνήμῃ τοῦ μάρτυρος, καὶ τοῖς ἄνθεσι τῶν ἐγκωμίων τοῦτον καταστέψωμεν, οὕτω βοῶντες: Χαίροις Ἀρτέμιε ἔνδοξε μεγαλομάρτυς τοῦ Χριστοῦ˙ χαίροις ὅτι τὸν νοητὸν Φαραώ, ἐν τοῖς ρείθροις τῶν αἱμάτων σου ἀπέπνιξας. Χαίροις ὁ τοῦ παραβάτου καὶ ἀθέου Ἰουλιανοῦ τὰς κολακείας καὶ ἀπειλὰς εἰς οὐδὲν λογισάμενος˙ ἀλλὰ τῇ δυνάμει τοῦ Χριστοῦ ρωννύμενος ἀήττητε, αὐτοῦ τὴν ἄννοιαν εὐστόμως διήλεγξας, καὶ τῶν εἰδώλων τὴν πλάνην ἐμείωσας, καὶ ἐκήρυξας Χριστὸν τὸν Θεόν, τὸν παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν.

Ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ τῆς ἀπειραγάμου Νύμφης εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος˙ ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος. Τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ, νῦν δὲ, τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως, ἡ Παρθένος. Ἡ θάλασσα, μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος˙ ἡ Ἄμεμπτος, μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος. Ὁ ὢν καὶ προὼν καὶ φανεὶς ὡς ἄνθρωπος, Θεὸς, ἐλέησον ἡμᾶς.

**Εἴσοδος, τὸ Φῶς ἱλαρὸν τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.**

www.tezaurliturgic.ro

### Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγέλλει ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας, αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ, γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται· ἐγὼ εἰμὶ Θεός καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων ἐγὼ ἀνήγγειλλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν Θεὸς ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεὸς· ἔτι ἀπ' ἀρχῆς ἐγὼ εἰμί· καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεὸς, ὁ λυτρούμενος ἡμᾶς ὁ ἅγιος Ἰσραήλ.

### Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτούς, ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν· καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ

www.tezaurliturgic.ro

πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν· καὶ πιστοὶ ἐν ἀγάπῃ προσμένουσιν αὐτῷ ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὔτε ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστὶ φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ· ἢ δόλος ἀπατήσει ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητας ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μικρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες· μὴ δὲ θέντες ἐπὶ διανοία τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν τὰ παρόντα ἰδιόμελα.

Ἦχος Α'.

Σταλάξατε τὰ ὄρη γλυκασμόν, καὶ οἱ βουνοὶ ὡς ἀρνία σκιρτήσατε ἡ Ἐκκλησία τοῦ Θεοῦ σήμερον εὐφροσύνως ἀγαλλομένη βοᾷ, ὅτι ἐλαμπρύνθη μου τὸ κάλλος ὑπὲρ πάντα λόγον, ἰδοὺ γὰρ τῶν ἀθλοφόρων τὸ μέγα κειμήλιον, ὁ μέγας Ἀρτέμιος τὴν πορείαν πρὸς οὐρανὸν ἐποιήσατο, δεῦτε οὖν φιλέορτοι, ὀρθοδόξων τὸ σύστημα πα-

www.tezaurliturgic.ro

νηγυρίσαντες πίστει, τὴν θείαν αὐτοῦ ἐκτελέσωμεν ἄθλησιν· ἱκετεύοντες αὐτὸν αἰτήσασθαι Χριστὸν τὸν Θεόν, τοῦ ῥυσθῆναι τὴν οἰκουμένην, ἐκ παντοίων θλίψεων.

Ὁ αὐτός

Ἀγάλλεται σήμερον ἡ Ἐκκλησία τοῦ Θεοῦ λαμπρυνομένη τῇ χάριτι καὶ πιστῶς πανηγυρίζει τῶν φιλεόρτων τὰ συστήματα, ἐπὶ τῇ ἐνδόξῳ μνήμῃ σου Ἀρτέμιε πανένδοξε, καὶ δοξάζει Χριστὸν τὸν τὴν χάριν νέμοντα, τοῖς ἐκ πόθου βοῶσι σοι· χαίροις οἰκουμένοις ἀστὴρ φωταυγέστατε, καὶ τῶν ὑμνητῶν σου λαμπαδοῦχε φαεινέ· χαίροις ἀείμνηστε ὁ τοῖς πανσόφοις σου λόγοις, Ἰουλιανὸν καταισχύνας τὸν ἔχθιστον· χαίροις τὸ ἡμέτερον καύχημα, τῶν σὲ τιμώντων, φαιδρόν ἀγαλλίαμα.

Ὁ αὐτός.

Χαῖρε καὶ εὐφραίνου μεγαλομάρτυς Ἀρτέμιε, στρατιῶτα τοῦ μεγάλου βασιλέως ἄριστε. Θεῷ γὰρ εὐηρέστησας, καὶ πάντων ὑπεριδών, ἐν οὐρανοῖς τὴν ζωὴν τὴν αἰώνιον ἀπείληφας. Ὅθεν ἡ σορός τῶν λειψάνων σου, παντοίων νόσων ἀποσοβεῖ ἐξ ἀνθρώπων, τῶν μετὰ πίστεως προσκυνούντων τὴν ἱερὰν σου εἰκόνα· Χριστὸν γὰρ ὃν ἐπόθησας, αὐτὸς ἐν πᾶσι τοῖς πέρασιν, ἐδόξασέ σε τρισόλβιε.

Ἦχος β'.

Αὐτόκλητος ἐχώρησας πρὸς τὰ σκάμματα τῆς ἀθλήσεως, τρισμάκαρ Ἀρτέμιε· καὶ τοῖς μὲν τριβόλοις κεντούμενος, τὰς ἀκάνθας καὶ τριβόλους παρῆλθες τοῦ

www.tezaurliturgic.ro

προπάτορος τῆς ἀρᾶς· τοῖς δὲ βουνεύροις τυπτόμενος, τὸν ἐχθρὸν ἐξενεύρισας, ὀγκίνοις τὰς πλευρὰς, καὶ τὰ βλέφαρα διαπαρείς, τὸν παλαιὸν πταιρνιστήν, καὶ τὸν ἄρχοντα τοῦ σκότους τελείως κατήσχυνας· τὰ δὲ ὀστᾶ συντριβείς, πᾶσαν νόσον θεραπεύεις, τὴν κάραν ἀφαιρεθείς, ἀμαραντίνῳ στεφάνῳ κατεστεύθης, ἐκτενῶς δεόμενος ὑπὲρ τῶν εὐφημούντων σε.

Ὁ αὐτός.

Ἀγγέλους ἔπεισας, καὶ ἀνθρώποις ἀγάλλεσθαι τοῖς θαυμασίοις σου, καὶ θαυμάζειν τὴν ὑπομονήν σου, ἀδαμάντινε Ἀρτέμιε· ὡς ἀδάμας γὰρ ἵστατο ἀκλόνητος, ἐν τοῖς παλαίσμασι, καὶ τὰς τῶν τυράννων ἀπειλὰς μὴ πτοούμενος, ὑπὲρ αὐτῶν χριστομιμήτως τὸν Θεὸν ἐδυσώπεις· ὃν καθικέτευε, καὶ ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει ἐκτελούντων, τὴν ἀεισέβαστον μνήμην σου.

Ἦχος Πλ. α΄.

Ἡ παμφαὴς τοῦ μάρτυρος μνήμη, λάμπει ὡς ὁ ἥλιος τοῖς πέρασι, καὶ ἀπαύστως δαδουχεῖ, τοῖς πιστοῖς τὰ ἰάματα, νόσους ἀποσοβοῦσα, καὶ πάθη θεραπεύουσα· ἱκετεύει γὰρ Ἀρτέμιος τῷ Χριστῷ, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος Πλ. δ΄.

Τοῖς τοῦ σώματος χαρίσμασι, συναπαστράπτουσαν ἔχων τῆς ψυχῆς ὡραιότητα, πρὸς τῇ κατὰ κόσμον δόξῃ πνευματικὴν ἐπλούτισας εὔκλειαν, μεγαλομάρτυς Ἀρτέμιε, θείᾳ ψήφῳ προκριθείς, μετακομίσαι τῶν ἀπο-

www.tezaurliturgic.ro

στόλων τὰ πάνσεπτα λείψανα· ὅθεν ἐκ δυνάμεως εἰς δύναμιν χωρῶν, τὰ στίγματα τοῦ Χριστοῦ, διὰ μαρτυρίου ἐν τῇ σαρκί σου ἐβάστασας· καὶ τῆς δόξης αὐτοῦ κληρονόμος γέγονας, πρεσβεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα ἦχος πλ. δ'.

Τίς ἐξείπῃ, τὰς ἀριστίας σου σοφέ, ἢ τὶς ἐπαινέσῃ, τῶν ἀγώνων σου τὰ εἴδη; Διπλοῦς γὰρ ὡς ὑπάρχων ἐκ ψυχῆς ὁμοῦ καὶ σώματος, τῷ κρείττονι τὸ χεῖρον ἔσπευσας καθυποτάξαι. Ὅθεν ἀθλοφόρων ἀνεδείχθης ἀκρότης, καὶ προστάτης ἀκοίμητος τῶν εὐφημούντων σε.

Καὶ νῦν. Θεοτόκιον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Εἰς τὸν στῖχον, ἦχος πλ. α'.
Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ ὑπατεύσας Θεῷ, καὶ βασιλεῖ τῷ ἑκατωτέρῳ τὰ πρόσφορα, ἀνάγων τῷ μὲν τὸν φόρον, τῷ δὲ τὸν φόβον σαφῶς, Χριστῷ ταλαντεύσας δι' ἀθλήσεως, νοὸς τῇ ὀξύτητι, ὑπερβὰς τὰ ἀμφότερα, ὥσπερ σπιλάδα τῆς σαρκὸς τὸ ἐπίβουλον, κατεμάρανας, συνεργίᾳ τοῦ πνεύματος, βίῳ λόγον κοσμούμενος, Θεῷ καθιέρωσας, νοῦν καὶ ψυχὴν καὶ τὸ σῶμα, πάντα, αὐτῷ ἀναθέμενος, φωτὶ ἀνεσπέρῳ, ἐντυγχάνων ὑπὲρ πάντων Μάρτυς Ἀρτέμιε.

Στῖχος. Δίκαιος ὡς φοῖνιξ ἀνθίσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

www.tezaurliturgic.ro

Χαίροις τῶν ἀθλοφόρων Χριστοῦ, ἄστρον λαμπρότατον Ἀρτέμιε ἔνδοξε, συγκλήτου βουλῆς τῆς ἄνω, ὡς καὶ τῆς κάτω υἱὲ, περιόπτου γένους, ἄνθος εὔοσμον, σταγὼν ἡ ὑψόθεν ἐπὶ τὴν γῆν ἀποστάζουσα, βαβυλωνία προσπαράσων νοήματα, ἦθος ὑπὲρ κατάληψιν ὁ ἔχων καὶ σύνεσιν, βίον καὶ λόγον καὶ χάριν, ὑπερφυῆ πάντα τίμια, Θεῷ ᾧ ἀμέσως ὑπὲρ πάντων ἐντυγχάνεις τῶν εὐφημούντων σε:

Στῖχος: Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Χαίροις ὁ ἑωσφόρος ἀστήρ, ὁ καταυγάζων τὴν ὑφήλιον ἅπασαν, ἀκτῖσι τῶν σῶν θαυμάτων, καὶ δαδουχῶν τοὺς πιστῶς, τὴν λαμπράν σου μνήμην μάκαρ ἄγοντας˙ ψυχῶν καὶ σωμάτων γάρ, εὑρηκότες ἀκέστορα, σὲ τὸν λυτῆρα, νόσου πάσης καὶ μάστιγος, εὐφημοῦμέν σε, μιμητὴν ὡς τοῦ κτίστου σου˙ ὅθεν οἱ τῷ τεμένει σου, τῷ θείῳ προστρέχοντες, λύσιν πταισμάτων τρυγῶσι, καὶ μακαρίαν ἀπόλαυσιν, Θεῷ ᾧ ἀμέσως ὑπὲρ πάντων ἐντυγχάνεις, μάκαρ Ἀρτέμιε:

Δόξα, ἦχος πλ. α΄.

Τῇ παμφαεῖ πανηγύρει τοῦ ἀθλοφόρου Χριστοῦ, δεῦτε συνδράμωμεν ὦ φιλομάρτυρες, προύθηκε γὰρ ἡμῖν τράπεζαν μυστικήν, τὰς λαμπρὰς αὐτοῦ ἀριστείας καὶ τρόπαια˙ καὶ συγκαλεῖται πάντας πρὸς εὐωχίαν, μηδεὶς οὖν ἐξέλθῃ πεινῶν, τῆς ἱερᾶς ταύτης πανδεσίας˙ καὶ γὰρ ἀμοίβεται πάντας τοῖς οὐρανίοις χαρίσμασι˙ ὧν ἐν μετοχῇ γενέσθαι ἀξιωθῦμεν, ταῖς πρὸς τὸν Θεὸν αὐτοῦ εὐπροσδέκτοις παρακλήσεσιν.

www.tezaurliturgic.ro

**Καὶ νῦν. Θεοτοκίον.**

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε˙ δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης˙ φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παρρησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον, ἦχος α'.
**Τοῦ λίθου σφραγισθέντος.**

Ποικίλαις βασάνοις ἐναθλήσας μακάριε, ὡς στερρὸς ἀδάμας τὸν παραβάτην κατῄσχυνας˙ καὶ γὰρ ἐν πέτρᾳ μεγίστῃ πιεσθείς, διὰ τὴν πέτραν Χριστὸν καὶ αἰκισθείς, στέφος ἐδέξω τοῦ μαρτυρίου μεγαλομάρτυς Ἀρτέμιε˙ δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

**Δόξα τό α'υτό**
**καὶ νῦν.**
**Θεοτόκε Παρθένε˙ ἡ εὐλόγησις τῶν ἄρτων**
**καὶ ἀπόλυσις**
**Εἰ δὲ ἐστὶν Ἀγρυπνία, τίθεται καὶ ἀνάγνωσις εἰς τὸ μαρτύριον τοῦ Ἁγίου Ἀρτεμίου.**

# Εἰς τὸν Ὄρθρον

Τὸ, Θεὸς Κύριος καὶ τὸ Ἀπολυτίκιον, δίς·
Καὶ νῦν Θεοτοκίον. Ὁ αὐτός.
τοῦ Γαβριὴλ φθεγξαμένου σοι.

## ΜΕΤΑ ΔΕ ΤΗΝ Α΄ ΣΤΙΧΟΛΟΓΙΑΝ

**Ψάλλομεν τὰ Καθίσματα Ἦχος Α΄.**
**Τὸν τάφον σου Σωτήρ.**

Βασάνων ἀλγεινῶν, ἀνδρικῶς ὑπομείνας τὴν ἄπονον ζωήν, ἐκομίσω παμμάκαρ, Ἀρτέμιε ἔνδοξε, ἀθλητῶν ἐγκαλώπισμα· ὅθεν σήμερον ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἑορτάζουσα, τὴν σὴν πανίερον μνήμην ἐνθέως ἀγάλλεται.

Δόξα ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Χυθεῖσι σου αἵμασιν ὡραϊζόμενος, Κυρίῳ παρίστασαι ὑπὲρ αὐτοῦ ἀθλητά, Ἀρτέμιε ἔνδοξε· ὅθεν ἐν εὐφροσύνῃ τὴν ἁγίαν σου μνήμην, σήμερον ἐκτελοῦμεν ὀφλημάτων τὴν λύσιν, αἰτούμενοι εὑρεῖν διὰ σοῦ τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν τὸν ἐπὶ πόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε, βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ, τοῖς ἱερεῦσιν ἐκραύγαζε, παρθένος τίκτει καὶ μετὰ τόκον, πάλιν μένει παρθένος.

## ΕΙΤΑ Ο ΠΟΛΥΕΛΕΟΣ

**Καὶ μετὰ τὸν πολυέλεον. Κάθισμα. Ἦχος πλ. δ΄.**
**Τὴν σοφίαν καὶ Λόγον.**

Ἐξ οἰκείων αἱμάτων ὁ ἀθλητής, ἑαυτῷ πορφυρίδα βάψαι καλῶς, ὡραῖος τοῖς μέγμασιν τῷ Χριστῷ προσενήνεκται τρισηλίου δόξης, φωτὶ λαμπρινόμενος· καὶ ἡμᾶς φωτίζων, αὐτὸν μακαρίζοντες· ὅθεν τὴν φωσφόρον, καὶ σεπτὴν αὐτοῦ μνήμην, τελοῦντες λαμβάνομεν, ἰαμάτων χαρίσματα, ὢ ἐν πίστει βοήσωμεν, πρέσβευε Χριστῷ τῷ Θεῷ, ὑπὲρ πάντων τῶν πόθῳ τελούντων, τὴν φωσφόρον καὶ εὔσημον μνήμνη σου.

**Δόξα, ἦχος δ΄. Ἐπεφάνης σήμερον.**

Ἑορτὴν ὑπέρλαμπρον, ἡ ἐκκλησία κεκτημένη ἔνδοξε, τὴν παναγίαν ἑορτήν, τῆς τελειώσεως κράζει σοι, χαίροις μαρτύρων Ἀρτέμιε καύχημα.

**Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.**

Προστασία ἄμαχε τῶν θλιβομένων, καὶ θερμὴ ἀντίληψις, τῶν πεποιθότων ἐπὶ σέ, προκινδυνεύοντα ῥῦσαι με σὺ γὰρ ὑπάρχεις ἡ πάντων βοήθεια.

www.tezaurliturgic.ro

## ΟΙ ΑΝΑΒΑΘΜΟΙ

Τὸ α´ ἀντίφωνον τοῦ δ´. ἤχου.

Προκείμενον.

Δίκαιος ὡς φοῖνιξ ἀνθίσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στῖχος. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Τὸ, Πᾶσα πνοή.

ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῖς μαθηταῖς προσέχεται ἀπὸ τῶν ἀνθρώπων.

Ὁ πεντηκοστὸς ψαλμός (χῦμα).

Δόξα. Ταῖς τοῦ ἀθλοφόρου πρεσβείαις. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλεῆμον ἐλέησον με ὁ Θεὸς κατὰ τὸ μέγα.

Καὶ τὸ ἰδιόμελον. Ἦχος πλ. β´.

Σήμερον, ἡ οἰκουμένη πᾶσα, ταῖς τοῦ ἀθλοφόρου αὐγάζεται ἀκτίσι, καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία, τοῖς ἄνθεσιν ὡραϊζομένη, Ἀρτέμιε βοᾷ σοι. Θεράπων Χριστοῦ, καὶ προστάτα θερμότατε, μὴ ἐλλείπεις πρεσβεύων, ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Σῶσον ὁ Θεὸς τὸν Λαόν σου κ.τ.λ.

## ΚΑΙ ΕΥΘΥΣ ΟΙ ΚΑΝΟΝΕΣ

Ὁ κανὼν τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν, εἰς στ´.

καὶ τοῦ Ἁγίου οἱ δύο εἰς η´.

Οἱ εἱρμοὶ τῶν ᾠδῶν τῆς Θεοτόκου ἄνευ στίχου.

www.tezaurliturgic.ro

Ὁ Κανὼν τῆς Θεοτόκου. Ὠδὴ α΄. ἦχος α΄. ὁ εἱρμὸς ἄνευ στίχου.

Ὠδὴν ἐπινίκιον ᾄσωμεν πάντες Θεῷ τῷ ποιήσαντι, θαυμαστὰ τέρατα, βραχίονι ὑψηλῷ καὶ σώσαντι τὸν Ἰσραήλ, ὅτι δεδόξασται.

Τροπάριον.

Στίχ. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὡς μόνη τὸν ἄχρονον Υἱὸν ἐν χρόνῳ, τεκοῦσα σαρκούμενον, Παναγία. Ἄχραντε, πάντα τὰ χρόνια, τῆς παναθλίας μου ψυχῆς, πάθη θεράπευσον.

Τὰ τραύματα πάναγνε τὰ τῆς ψυχῆς μου, καρδίας τὴν πώρωσιν, λογισμοῦ τὴν σκότωσιν, καὶ τοῦ νοός μου ἐκτροπάς, ἀφάνισον ὡς ἀγαθὴ ταῖς σαῖς δεήσεσι.

Τὸ φῶς ἡ κυήσασα τὸν λυτρωτήν μου, τοῦ σκότους με λύτρωσαι καὶ βασάνων Ἄχραντε, τῶν αἰωνίων ἐκεῖ, ὅπως σωζόμενος ὑμνῶ τὰ μεγαλεῖά σου.

Νοός μου πανάμωμε τὰς ἀμαυρώσεις, φωτί σου ἀπέλασον, ἡ τὸ φῶς κυήσασα τὸ ὑπὲρ ἔννοιαν˙ καὶ δώρησαί μοι ἀγαθή, τὸ φῶς προσβλέψαι, τὸ ἐκ σοῦ ἐξανατεῖλαν ἡμῖν.

Ὠδὴν κατανύξεως τῇ Θεοτόκῳ, θερμῶς, προσενέγκωμεν, ὦ ψυχή μου τάλαινα, βεβηλωθῆσα κακῶς, ἵνα ρυσθῶμεν ἐκ πυρὸς τοῦ αἰωνίζοντος.

www.tezaurliturgic.ro

Ὁ Κανὼν τοῦ Ἁγίου. Ὠδὴ α΄ ἦχος β΄.
Ἐν βυθῷ κατέστρωσε ποτέ.
Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν ἀγῶνα μάρτυς τὸν καλὸν ὡς ἀγωνισάμενος, καὶ τοὺς λαμπροὺς στεφάνους κομισάμενος, τῷ φωτὶ παρίστασαι, φωτιζόμενος κατὰ μέθεξιν ἄϋλον ὅθεν δυσωπούμενος, φώτισον ἡμᾶς ταῖς ἱκεσίαις σου.

Ἡ φαιδρά σου μάρτυς ἑορτή, πάντας συνεκάλεσε, χαρμονικῶς εἰς πανδεσίαν σήμερον, προθεῖσα τοὺς ἄθλους σου, τὰ παλαίσματα, τὴν ἀνδρείαν, τὴν ἔντασιν, ὧν κατατρυφῶντες πίστει σε καὶ πόθῳ μακαρίζομεν.

Νεκρωθέντα μάκαρ ἐν σταυρῷ τὸν ἀκατανόητον σωματικῶς κατανοήσας Κύριον, τῆς ζωῆς τὸν αἴτιον, ἐθελούσιον ἐπεπόθησας νέκρωσιν, τὴν διὰ βασάνων, ὅθεν ἀθανάτου δόξης ἔτυχες.

Θεοτοκίον.

Σαρκωθεὶς ἐκ σοῦ Θεοπρεπῶς, λόγος ὁ ἀσώματος ὑπερβολὴ φιλανθρωπίας πάναγνε, πάθει προσωμίλησε καὶ ἀπαθείαν τοῖς ἀνθρώποις ἐπήγασεν ὁ δεδοξασμένος Κύριος, ἐνδόξως γὰρ δεδόξασται.

Ἕτερος κανὼν τοῦ Ἁγίου ἦχος πλ. δ΄.
Ἁρματηλάτην Φαραώ.
Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱερωτάτην ἑορτὴν γηθόμενοι νῦν συγκροτήσωμεν καὶ ἱεροῖς ὕμνοις, δεῦτε μακαρίσωμεν Ἀρτέμιον τὸν ἔνδοξον, τῶν μαρτύρων τὸ κλέος, τὸν ἥλιον τὸν φωτίζοντα,

www.tezaurliturgic.ro

τὰ τῆς οἰκουμένης πληρώματα.

Γεωπονήσας ἀρεταῖς τὸν βίον σου μάρτυς Ἀρτέμιε, καὶ ταῖς πολλαῖς ὄντως πιανθεὶς κολάσεσι, τῶν τυραννούντων ἔνδοξε, νῦν τρυγᾷς τὴν ἀγήρω τρυφὴν καὶ νέμεις τοῖς δούλοις σου, κατὰ τῶν δαιμόνων τὰ τρόπαια.

**Δόξα**

Πλήρης ἀνδρείας θεϊκῆς γενόμενος, μάρτυς Ἀρτέμιε, καὶ θαυμαστοῖς τρόποις ὄντως σεμνυνόμενος εἰσῆλθες πρὸς τὰ σκάμματα, μαρτυρίου γενναῖος καὶ Φαραὼ τὸν ἀόρατον, αἵμασι τοῖς σοῖς κατεπόντησας.

**Καὶ νῦν. Θεοτοκίον**

Φωτιστικαῖς σου ἀθανάτοις λάμψεσι, θεοχαρίτωτε πύλη φωτὸς μόνη, ὁ κλεινὸς Ἀρτέμιος, φαιδρῶς καταυγαζόμενος, τὸ βαθύτατον σκότος τῶν ἀνυπίστων κολάσεων, ὕμνοις σὲ γεραίρων παρέδραμεν.

**Καταβασίαι.**

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται πνεύματος καὶ λόγον ἐρεύξομαι, τῇ βασιλίδι μητρί· καὶ ὀφθήσομαι φαιδρῶς πανηγυρίζων καὶ ᾄσω γηθόμενος ταύτης τὰ θαύματα.

**Ὠδὴ γ΄. ὁ εἱρμός.**

Στερεωθήτω ἡ καρδία μου, εἰς τὸ θέλημά σου Χριστὲ ὁ Θεός, ὁ ἐφ᾿ ὑδάτων οὐρανὸν στερεώσας τὸν δεύτερον, καὶ ἑδράσας ἐν τοῖς ὕδασι τὴν γῆν παντοδύναμε.

www.tezaurliturgic.ro

### Τροπάριον.
### Στίχ. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τῆς στειρευούσης διανοίας μου, ἀκαρπίαν πᾶσαν ἀπέλασον, καὶ καρποφόρον ἀρεταῖς τὴν ψυχήν μου ἀνάδειξον, Παναγία Θεοτόκε τῶν πιστῶν ἡ βοήθεια.

Ρῦσαι με πάσης κατακρίσεως, καὶ πολλῶν σκανδάλων τοῦ ὄφεως, τοῦ αἰωνίζοντος πυρός, καὶ τοῦ σκότους πανάμωμε, ἡ τὸ φῶς ἀποκυήσασα ἡμῖν τὸ ἀνέσπερον.

Τὸ ἀπαραίτητον κριτήριον, καὶ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον, καὶ τὴν ἀπόφασιν ἁγνὴ τὴν φρικτὴν ὅλως δέδοικα· σπεῦσον σῶσον πρὸ τέλους ἀγαθὴ τὸν οἰκέτην σου.

Εὐλογημένος τῆς κοιλίας σου ὁ καρπὸς Παρθένε πανύμνητε, τοὺς γὰρ φθαρέντας τῷ καρπῷ, διὰ ξύλου σταυροῦ αὐτοῦ, ἀφθαρτίσας κατεστήσατο κοινωνοὺς θείας χάριτος.

Θεογεννήτωρ ἀπειρόγαμε, τὰς ἡμῶν δεήσεις προσάγαγε τῷ ποιητῇ σου καὶ Θεῷ, τῷ τεχθέντι ἐκ μήτρας σου ὅπως εὕρωμεν τελείαν τῶν δεινῶν ἀπολύτρωσιν.

### Ἄλλος τοῦ Ἁγίου.
### Ἐξήνθησεν ἡ ἔρημος.

Μαρτύρων καλλωπίζεσθαι, τοῖς στεφάνοις ἔνδοξε ἐπιποθῶν ὑπήνεγκε, τῶν μαστίγων καὶ τῶν στρεβλώσεων, τὰς πικρὰς ἀλγηδόνας θεία χάριτι.

www.tezaurliturgic.ro

Οὐκ ἔπεισε τὸν πύργον σου τῆς καρδίας πάνσοφε, ἡ σφοδροτάτη πρόσριξις τῶν βασάνων καὶ γὰρ ἐστήρικτο, νοητὴν ἐπὶ πέτραν τὴν ἀσάλευτον.

Κκρίῳ ἀναρτώμενος καὶ νιφᾶσι πάντοθεν σπαραγμῶν κυκλούμενος, σοῦ τὸ ὄμμα πρὸς τὸν δυνάμενον, ἠτένιζες σώζειν ἀξιάγαστε.

Θεοτοκίον.

Σεσάρκωται βουλήματι, ἐξ αἱμάτων Δέσποινα σου παναχράντων Κύριος, διασώζειν τὴν ἀνθρωπότητα, καὶ μαρτυρῶν τοὺς δήμους ἀπεσπάσατο.

Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ζηλῶν ἐζήλωσας σοφέ, ὥσπερ Ἠλίας ὁ μέγας τῷ Κυρίῳ καὶ διέκοψας πᾶσαν, Ἰουλιανοῦ ὀφρῦν, ἀπάτης ὡς διέκοψε, τοὺς τῆς αἰσχύνης βαάλ, ἐκεῖνος μάρτυς Ἀρτέμιε.

Δαβὶδ ὡς πάλαι Γολιάθ, τὸν ἀλαζόνα καθεῖλες, τὰ ἀλλόκοτα τοῦ σώματος πάθη, καὶ τυράννων ἀπειλὰς μη πτοηθεὶς αὐτόκλητος, ἐν τῷ σταδίῳ χαίρων ἐβόας ἦλθον Ἀρτέμιε.

Ἀνεπιστρόφῳ λογισμῷ τοῦ μαρτυρίου τρισμάκαρ, τὴν σκληρὰν καὶ τεθλιμμένην προθύμως, σὺ διόδευσας ὁδόν, χαίρων στερρῶς Ἀρτέμιε, ὅθεν πρὸς θεῖον πλάτος τοῦ παραδείσου κατήντησας.

Θεοτοκίον.

Νομοθεσίας τοῦ ἐκ σοῦ σεσαρκωμένου Δεσπότου, ὁ Ἀρτέμιος πειθόμενος κόρη ὁ γενναῖος ἀθλητής, ἀνόμους ἐτροπώσατο, ἔχων σε συνεργάτην, τὴν σώζουσαν τὰς ψυχὰς ἡμῶν.

Καταβασία.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντες πνευματικὸν στερέωσον ἐπὶ τῇ θείᾳ δόξῃ σου στεφάνων δόξης ἀξίωσον.

Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Τὸν στρατιώτην τοῦ Χριστοῦ τὸν ἀήττητον, καὶ καθαιρέτην τοῦ ἐχθροῦ γενναιότατον, τὸν ἐν μεγίστοις τέρασιν ἐκλάμψαντα, ἅπαντες Ἀρτέμιον, εὐφημήσωμεν πίστει, βρύει γὰρ ἰάματα, τοῖς προστρέχουσι πόθῳ, καὶ καταπαύει πάθη χαλεπά, καὶ τῶν ἐν θλίψει ἀνθρώπων προΐσταται.

Δόξα τὸ αὐτό, καὶ νῦν, Θεοτοκίον.

Ὁ ἐπὶ θρόνου χερουβὶμ καθεζόμενος, καὶ ἐν τοῖς κόλποις τοῦ Πατρὸς αὐλιζόμενος, ὡς ἐπὶ θρόνου κάθηται Ἁγίου αὐτοῦ, Δέσποινα ἐν κόλποις σου σαρκικῶς ὁ Θεὸς γάρ, ὄντως ἐβασίλευσεν ἐπὶ πάντα τὰ ἔθνη καὶ συνετῶς νῦν ψάλλωμεν αὐτῷ. Ὃν ἐκδυσώπει σωθῆναι τοὺς δούλους σου.

www.tezaurliturgic.ro

### Ὠδὴ δ΄. ὁ εἱρμός.

Ἐν πνεύματι προβλέπων, προφῆτα Ἀββακούμ, τὴν τοῦ λόγου σάρκωσιν ἐκήρυτες βοῶν· ἐν τῷ ἐγγίζειν τὰ ἔθνη ἐπιγνωσθήσει ἐν τῷ πρεῖναι τὸν καιρὸν ἀναδειχθίση. Δόξα τῇ δυνάμει σου Κύριε.

### Τροπάριον.

Παρθένε Παναγία, ἀμόλυντε σκηνή, μολυνθέντα πταίσματι καθάρισόν με νῦν, τῶν οἰκτιρμῶν σου ρανίσι καθαρωτάτοις καὶ δός μοι χεῖρα βοηθείας, ἵνα κράζω δόξα σοι ἁγνὴ θεοδόξαστε.

Ναὸς ἡγιασμένος ἐδείχθης τοῦ Θεοῦ, τοῦ ἐν σοὶ οἰκήσαντος, Παρθένε ὑπὲρ νοῦν, αὐτὸν δυσώπει ἁμαρτιῶν ρύπου ἀποκαθάραι, ὅπως οἶκος γνωρισθῶμε καὶ κατοικητήριον πνεύματος.

Ἐλέησόν με μόνη, ἐλέους τὴν πηγὴν Θεοτόκε τέξασα, καὶ λῦσον τὴν δεινὴν τῆς ψυχῆς μου νόσον, καὶ πώρωσιν τῆς καρδίας· δακρύων ρεῖθρα καὶ κατάνυξιν πρό τέλους, θεάν δορουμένη πρεσβείαις σου.

Νοήσας ὁ προφήτης ἐν πνεύματι Θεοῦ, πρὸς ὄρος σε προέγραψε, κατάσκιον ἁγνή· τοὺς ἐκτάκεντας φλογμῷ πολλῶν ἐγκλημάτων, ἀποκαθαίρεις μεσιτείαις σου Παρθένε μόνη τῶν βροτῶν ἡ ἀνόρθωσις.

Ἐξέστησαν ὁρῶσαι, Ἀγγέλων στρατιαὶ πῶς ὁ ἀθεώρητος, μορφῇ τῇ καθ' ἡμᾶς, ἐκ σοῦ ὡράθη, Παρθένε

www.tezaurliturgic.ro

Θεοτόκε· ὃν ἐκδυσώπει σωτηρίας ἀξιῶσαι πάντας τοὺς πιστῶς σε δοξάζοντας.

Ἄλλος τοῦ Ἁγίου. Ἐλήλυθας ἐκ Παρθένου.

Μιμούμενος, τὸν τεθέντα ἐν ξύλῳ θελήματι, ὑψώθης τεινόμενος, καὶ ὠμοτάτως ξεόμενος, καὶ ἀποδυόμενος, τοὺς δερματίνους χιτῶνας τῆς νεκρώσεως.

Οἱ πόνοι σου τῆς σαρκὸς καὶ δεινῶν ἡ ἐπίτασις, τὴν ἄπονον λῆξιν σοι, μάρτυς σαφῶς προεξένησαν ἧς νῦν ἐμφορούμενος ἅπαντα πόνον κουφίζεις τῶν ψυχῶν ἡμῶν.

Ἰσαγγέλῳ γεγονότι τῶν ἄθλων λαμπρότητι, χειρὸς δι' ἀγγέλου σοι, πέμπει τροφὴν ὁ οὐράνιος, ἄρτος ἡ ζωὴ ἡμῶν, ἐνδυναμοῦσαν σε μάρτυς παναοίδιμε.

Θεοτοκίον.

Παρθένον σε μετὰ τόκον ἀμίαντε ἄφθορε, Θεὸς συνετήρησεν ὁ εὐδοκήσας ἐν μήτρᾳ σου, ὅλον με τὸν ἄνθρωπον ἀναλάβεσθαι δι' ἄκραν ἀγαθότητα.

Ἄλλος. Εἰσακήκοα Κύριε.

Νοερῶς εἰκονίζω σε ὅλως τετρωμένως τῷ θείῳ πόθῳ σου, μὴ παρίδῃς με Ἀρτέμιε, ἀλλὰ ἴασαί μου τὰ συντρίμματα.

Λόγος ὅλως οὐ δύναται, ἐξειπεῖν τρισμάκαρ ταῖς ἀριστείαις σου, ὑπερβαίνει γὰρ θαλάσσιον τὰ λαμπρά σου ψάμμον ἀγωνίσματα.

www.tezaurliturgic.ro

Οὐχ εἱρκτὴ οὐδὲ μάστιγες οὐ πλακὸς βαρύτης, ἀλλ' οὐδὲ θάνατος, τῆς ἀγάπης ἠδυνήθησαν ἐκχωρίσαι μάρτυς τοῦ Δεσπότου σου.

**Θεοτοκίον.**

Ἡ Θεὸν σωματώσασα, τῶν σωματικῶν με παθῶν ἀπάλλαξον, ἱκεσίαις σου θεράποντος, Ἀρτεμίου κόρη πρός σε ἄφθορε.

**Καταβασία.**

Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν τὴν ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ ὑψίστου ὁ προφήτης Ἀββακοὺμ κατανοῶν ἐκραύγαζε δόξα τῇ δυνάμει σου Κύριε.

**Ὠδὴ ε΄. ὁ εἱρμός.**

Τὴν σὴν εἰρήνην δὸς ἡμῖν υἱὲ τοῦ Θεοῦ, ἄλλον γὰρ ἐκτός σου Θεὸν οὐ γινώσκομεν, τὸ ὄνομά σου ὀνομάζομεν ὅτι Θεὸς ζώντων καὶ τῶν νεκρῶν ὑπάρχεις.

Τὰς κόρας τῆς καρδίας μου διάνοιξον ἁγνή, βλέπειν με τρανῶς τὴν θείαν λαμπρότητα, καὶ τὴν σὴν δόξαν τὴν ἀνέκφραστον ὅπως ἐλέους τύχω καὶ αἰωνίου δόξης.

Πανάχραντε ὡς τέξασα, σωτῆρα, καὶ Θεὸν πρέσβευε ἐκ πάσης με θλίψεως, καὶ νοσημάτων καὶ κακώσεως, σῶον συντηρηθῆναι τὸν σὸν ἀχρεῖον δοῦλον.

Δυσώπητον ὃν ἔτεκες, Παρθένε ὑπὲρ νοῦν, σώζεσθαι τοὺς πίστει σοι κράζοντας· χαῖρε Παρθένε παναμώμητε, χαῖρε εὐλογημένη τοῦ κόσμου προστασία.

Διάσωσόν με Πάναγνε, κινδύνων χαλεπῶν, ἔγειρον παθῶν κοπρίας καὶ ῥῦσαί με αἰχμαλωσίας καὶ κακώσεως, πονηρῶν δαιμόνων τὸν σὸν ἀχρεῖον δοῦλον.

Βασίλισσαν παρθένον σε, κηρύττει ὁ Δαβὶδ ἄχραντε ἁγνή, διὸ σὲ ἱκετεύω, τῆς οὐρανίου βασιλείας με, ποίησον κληρονόμον, ἵνα μακαρίζω σε.

**Ἄλλος τοῦ Ἁγίου. Μεσίτης Θεοῦ καὶ ἀνθρώπων.**

Λαμπρὰς φωταυγῆς καθοράθης πνεύματος Ἀρτέμιε, πιστοὺς καταυγάζουσα, καὶ τῆς πονηρίας ἀπελαύνουσα τὸ ζοφῶδη καὶ σκότους πεπληρωμένα πνεύματα.

Ὠ πέτρα ζωῆς, τῆς ψυχῆς τὰ βήματα πηξάμενος, ταῖς πέτραις σφιγγόμενος καὶ τοῖς ἀλγεινοῖς περικυκλούμενος, ἀληθὴς ἀθλοφόρος ἀκλόνητος διέμεινας.

Ὑπάρχων σεπτῶς ὁπλισμένος πνεύματος δυνάμεσι τριβόλων ὀξύτητος, μάρτυς ἀθλοφόρε κατεφρόνησας, ἐν αὐτοῖς συμπατήσας, τὰ κέντρα τοῦ ἀλάστορος.

**Θεοτοκίον.**

Σταυρὸν καὶ ταφήν, ὁ ἐκ σοῦ θελήματι τεχθεὶς δι' ἡμᾶς, ὑπομείνας, Δέσποινα, μάρτυρα στερρότατον Ἀρτέμιον, τῶν αὐτοῦ παθημάτων ὡς κραταιὸς εἰργάσατο.

www.tezaurliturgic.ro

Ἄλλος τοῦ Ἁγίου.
Ἵνα τι με ἀπώσω ἀπὸ τοῦ προσώπου σου.

Ἰατρὲ τῶν νοσούντων, πάσας μου ἰάτρευσον τὰς νόσους δέομαι, ὁδηγὲ ἁπάντων πλανωμένων, ὁδόν με πλανώμενον, ἀπολέσας πάσης, καὶ σκοτιζόμενον ἀπάταις, ὡς καλός μου προστάτης ἐπίστρεψον.

Ἰδοὺ ἄλλη ὁρᾶται, θεία κιβωτὸς ὁ ναὸς τοῦ μάρτυρος, ὡς λυχνίαν ἔνδον, τὴν εἰκόναν πλουτῶν τούτου χαίροντες, ἧς περ προσκιρτῶμεν, πνευματικῶς καὶ χοραυλοῦντες, εὐφημοῦμεν τὸν μέγαν Ἀρτέμιον.

Ἐν νυκτὶ καὶ ἡμέρα, σὲ ἐπικαλοῦμαι τὸν μέγαν προστάτην μου, ἐν παντί με τρόπῳ, καιρῷ διαφύλαξον ἔνδοξε, ἀπὸ πάσης βλάβης καὶ ἐπηρείας ἐναντίων, τὸν εἰς σὲ τὴν ἐλπίδα μου θέμενον.

Θεοτοκίον.

Τὴν ἁγίαν Παρθένον τὴν θεοχαρίτωτον καὶ Παναμώμητον, ὁ στερρὸς ὁπλίτης, εἰς βοήθειαν, ἐπικαλούμενος τῶν βασάνων ὄγκον, καὶ τῶν δεινῶν τὴν τρικυμίαν, ἀκλονήτῳ διῆλθε φρονήματι.

Καταβασία.

Ἐξέστη τὰ σύμπαντα ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε παρθένε. Ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεὸν καὶ τέτοκας ἄχρονον υἱὸν πᾶσι τοῖς ὑμνοῦσι σε σωτηρίαν βραβεύουσα.

'Ωδὴ. στ'. ὁ εἱρμός.

Τὸν προφήτην Ἰωνᾶν ἐκμιμούμενος βοῶ τὴν ζωήν μου ἀγαθέ, ἐλευθέρωσον φθορᾶς, καὶ σῶσόν με σωτὴρ τοῦ κόσμου κράζοντα δόξα σοι.

Μολυνθέντα με πολλαῖς, ἁμαρτίαις τὴν ψυχήν μου δυσωπῶ σε τὴν ἁγνὴν καὶ ἀμόλυντον σκηνὴν ἀπόπλυνον, παντίου ῥύπου τῇ μεσιτείᾳ σου.

Κυβερνῆτις μοι γενοῦ, θαλατεύοντι ἀεί, ἐν πελάγει τῶν δεινῶν, τῶν τοῦ βίου πειρασμῶν, καὶ σῶσον με πρὸς σωτηρίας ὅρμον ἰθύνουσα.

Τρικυμίαι λογισμῶν καὶ παθῶν ἐπαγωγαί, καὶ βυθὸς ἁμαρτιῶν, τὴν ἀθλίαν μου ψυχήν, χειμάζουσι βοήθησόν με ἁγία Δέσποινα.

Μεγαλεῖα σοι ἁγνὴ ἐποιήσατο Χριστός· ὃν ἱκέτευε ἀεὶ μεγαλῆναι ἐπ' ἐμοί, τὰ πλούσια αὐτοῦ ἐλέει Θεοχαρίτωτε.

Τὴν μητέρα τοῦ Θεοῦ, καὶ καλὴν ἐν γυναιξί, δυσωπῶ σε ἐκτενῶς, μὴ παρίδῃς με ἁγνή, ἀλλ' οἴκτειρον καὶ πάσης βλάβης σῶσον συντήρησον.

Ἄλλος τοῦ Ἁγίου.
Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος.

Ἱερεῖον καὶ θῦμα ὁλόκληρον, μάρτυς προσενήνοχας σαυτὸν Ἀρτέμιε τῷ ἑκουσίαν σταύρωσιν, εἰς ἡμῶν δεξαμένῳ ἀνάκλησιν.

71

Ανενδότοις πληγαῖς συντριβόμενον, σῶμα σου Ἀρτέμιε τὸ καρτερώτατον, τὴν ψυχικὴν εὐγένειαν, διετήρεις τῇ πίστει ἀλώβητον.

Νοσημάτων ἡμᾶς ἀπολύτρωσαι, μάρτυς πειρασμῶν τε καὶ θλίψεων, τοὺς ἐπί σοι προστρέχοντας, μιμητὰς τοῦ Σωτῆρος Ἀρτέμιε.

**Θεοτοκίον.**

Χειμαζόμενον σάλῳ τῶν θλίψεων, κλυδωνιζόμενον ἐπαναστάσεσι, τρικυμιῶν διάσωσον, Θεοτόκε Παρθένε τοὺς δούλους σου.

**Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.**

Ηὐξήνθης πνευματικῶς, ἐλαία ὥσπερ κατάκαρπος, καὶ ταῖς Ἰουλιανοῦ ποιναῖς τε κατέθλιψαι, πιστοὺς ἱλαρύνης δε, χάριν νῦν ἐκβλύζων τῶν θαυμάτων σου Ἀρτέμιε.

Ρομφαία τοῦ δυνατοῦ, τὴν πλάνην πᾶσαν ἐξέτεμες, καὶ πάντας τὸν ἀληθῆ Θεὸν μάρτυς ἔπεισας, προσκυνεῖν ὡς αἴτιον, πάντων τῶν κτισμάτων, ἀεισέβαστε Ἀρτέμιε.

Ξοάνοις σέβας κωφοῖς, οὐδόλως ἔνειμας ἔνδοξε, ἀλλ' ἔνειμας τῷ Θεῷ τῷ σὲ ἀναδείξαντι, ἰατρὸν παμμέγιστον, ἀνιάτων μάρτυς, ἀλγηδόνων τῶν τοῦ σώματος.

**Θεοτοκίον.**

www.tezaurliturgic.ro

Νευρόμενος ταῖς ἐκ σοῦ, ἐκπεμπομέναις δυνάμεσι, Ἀρτέμιος ὁ κλεινός, νομίμως ἐνήθλησε τὴν ἁγνὴν μητέρα σου, ἀνυμνῶν Χριστέ μου τὴν ἀρρήτως σε κυήσασαν.

Καταβασία.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάσωμεν.

Κοντάκιον, ἦχος β΄.
Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους.

Τὸν εὐσεβῆ καὶ στεφηφόρον μάρτυρα, τὸν κατ᾿ ἐχθρὸν νίκης ἀράμενον τρόπαια, συνελθόντες ἐπαξίως νῦν ἐν ὑμνῳδίαις εὐφημήσωμεν, Ἀρτέμιον τὸν μέγιστον ἐν μάρτυσι, θαυμαστόν τε δοτῆρα πλουσιώτατον, πρεσβεύει γὰρ Κυρίῳ ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Τὶς τοὺς ἀγῶνας ἐξαρκέσει ἐξειπεῖν ἀθλοφόρε; ἢ τοὺς πόνους τοὺς σοὺς οὓς περ ἀνδρείως ὑπέμεινας διὰ τῆς πίστεως, τοῦ Κυρίου καὶ τῆς χάριτος τοῦ Χριστοῦ, ἧς περ κατηξιώθης; οὐκ ἀρκεῖ διηγήσασθαι στόμα ἀνθρώπινον· σοφίαν γὰν ἐνδυσάμενος καὶ ἀνδρείαν, τὸν πλοῦτον ἐμίσησας καὶ τὴν ἀξίαν τὴν πρόσκαιρον στρατηγός τε φανεὶς γενναιότατος· πρεσβεύεις γὰρ τῷ Κυρίῳ ὑπὲρ πάντων ἡμῶν.

www.tezaurliturgic.ro

## ΤΩ, ΑΥΤΩ, ΜΗΝΙ Κ΄.

Τὴν μνήμην ἐπιτελοῦμεν
Τοῦ ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Ἀρτεμίου.

Στίχ. Ὁ πάντα λαμπρὸς Ἀρτέμιος ἐν βίῳ,
Τμηθεὶς ἀνῆλθεν εἰς ὑπέρλαμπρον κλέος,
Εἰκάδι Ἀρτέμιος πυκινόφρον ὅσ' ἐκάλυψεν.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεὸς ἡμῶν
ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. ὁ εἱρμός.

Τοὺς ἐν καμίνῳ παῖδας σου Σωτὴρ οὐχ ἥψατο οὐδὲ παρηνώχλησε τὸ πῦρ, τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος, ὕμνουν καὶ εὐλόγουν λέγοντες· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Τὴν μιανθεῖσαν ἄχραντε ψυχὴν ἁγίασον πάντοτε τῶν δούλων σου ἁγνή, καὶ τοῦ νοὸς δεινὰς αἰχμαλωσίας, καὶ καρδίας πώρωσιν, καὶ τῶν δαιμόνων ὁρμάς, τάχος ἀφάνισον.

Νενεκρομένον πάθεσι σαρκός, πανάμωμε ζώωσον τὸν νοῦν μου καὶ Θεῷ, τὰ ἀρεστὰ ἐπιτελεῖν ἐνίσχυσόν με ἵνα μεγαλύνω σε ἵνα δοξάζω ἀεὶ τὴν ἀγαθότητά σου.

Νέκρωσόν μου Δέσποινα ἁγνή, τὰ τῆς σαρκὸς πάθη καὶ ψυχῆς μου ταπεινῆς ῥύπον δεινὸν ἐναποσμήχουσαν Παρθένε καὶ λογοθεσίου με ἀοράτων ἐχθρῶν ῥῦσαι καὶ σῶσόν με.

www.tezaurliturgic.ro

Σοὶ Παναγία Ἄχραντε ἁγνή, οἱ δοῦλοι σου πάντοτε ἡμέρας καὶ νυκτὸς προσπίπτομεν συντετριμμένῃ διανοίᾳ δυσωποῦντες λύτρωσιν ἁμαρτημάτων εὑρεῖν ἡμᾶς, ταῖς σαῖς προσευχαῖς.

Ρῦσαι γεέννης Δέσποινα ἁγνὴ τὸν δοῦλον σου, ῥῦσαι κολάσεως ἁπάσης ἐμὲ τὸν κατάκριτον, ἐκδυσωποῦσα Θεὸν τὸν ὑπεράγαθον.

Ἄλλος τοῦ Ἁγίου. Ἀντίθετον πρόσταγμα.

Ἀήττητον φρόνημα, ἀραγεστάτην ψυχῆς καρτερότητα, Ἀρτέμιε κτησάμενος, ἐχθρῶν, πανουργεύματα, μάρτυς κατήργησας, μέλπων ἐμμελέστατα ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος..

Ροαῖς τῶν αἱμάτων σου τὴν ἐπηρμένην, βασάνων κατέσβεσας, πυρὰν θεομακάριστε, δρόσῳ τοῦ πνεύματος περιεχόμενος, χαίρων ἀνεκραύγαζες, ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Ἰάσεων χάριτας, ἀναπηγάζων, παθῶν ὑπεκκαύματα σβεννύοις θεία χάριτι, διώκεις δὲ πνεύματα, ἐπιστασίαις σου ἔνδοξε Ἀρτέμιε, διὸ μεγαλοφώνως σε μακαρίζωμεν.

Θεοτοκίον.

Νεκροῖς τὸν πηγάσαντα, ἀθανασίαν Παρθένε πανάμωμε, θεοπρεπῶς ἐκύησας, αὐτὸν οὖν ἱκέτευε τοῦ θανατῶσαι ἡμῶν τὰ πάθη, τοῦ σώματος ἁγνή, καὶ αἰωνίου καταξιῶσαι ζωῆς.

www.tezaurliturgic.ro

Θεοῦ συγκατάβασιν.

Διόλου ταῖς νεύσεσι ταῖς πρὸς τὸ θεῖον καλλωπιζόμενος, τοῖς τριβόλοις τὸν νῶτον, καὶ τοῖς ὀγκίνοις πλευρὰς καὶ βλέφαρα, καὶ πᾶν τὸ σῶμα ἀδίκως ξεόμενος, μεγαλομάρτυς στερρῶς ἐνεκαρτέρησας.

Ιδεῖν ἀφιέμενος, Θεοῦ τὸ κάλλος τὸ ἀνεκλάλητον, μέσον πέτρας σχισθείσης, χαίρων ἐβλήθης γενναῖε Ἀρτέμιε κράζοντας, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ροῇ τῶν αἱμάτων σου, τὴν τῶν εἰδώλων πλάνην ἐβυθίσας, καὶ θαυμάτων τῇ δρόσῳ τοὺς ἐκτακέντας παθῶν τῷ καύσωνι, μάρτυς δροσίζειν Ἀρτέμιε κράζοντας, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Θεοτοκίον.

Υπάρχουσα Δέσποινα, καθαρωτέρα πάσης τῆς κτίσεως, ὑπεδέξω τὸν λόγον, ἐκ σοῦ ἀρρήτως ἀποτικτόμενον ὃν ὁ γενναῖος ποθήσας Ἀρτέμιος, τὴν βασάνων πυρὰν ἐνεκαρτέρησε.

Καταβασία

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες παρὰ τὸν κτίσαντα ἀλλὰ πυρὸς ἀπειλὴν ἀνδρείως πατήσαντες χαίροντες ἔψαλλον· ὁ Ὑπερύμνητος, ὁ τῶν πατέρων Κύριος, καὶ ὁ Θεὸς εὐλογητὸς εἶ.

76

www.tezaurliturgic.ro

Ὠδὴ η΄. ὁ εἱρμός.

Ον φρίττουσιν Ἄγγελοι, καὶ πᾶσαι στρατιαὶ ὡς κτίστην καὶ Κύριον ὑμνεῖτε ἱερεῖς, δοξάσατε παῖδες εὐλογεῖτε λαοὶ καὶ ὑπερυψοῦται εἰς πάντας τοὺς αἰῶνας.

Τροπάριον.

Σαρκοῦται ὁ ἄσαρκος ἐκ σοῦ θεοπρεπῶς, ὃν αἴτησαι πάναγνε τὰ πάθη τῆς ἐμῆς, σαρκὸς θανατῶσαι καὶ ζωῶσαι μου τὴν νενεκρωμένην ψυχὴν ταῖς ἁμαρτίαις.

Ιάσω τὸ σύντριμμα Ἀδὰμ τοῦ χοϊκοῦ, σωτῆρα κυήσασα πανάχραντε Θεόν, αὐτὸν ἐκδυσώπει τὰς πληγὰς τῆς ἐμῆς ψυχῆς θεραπεῦσαι ἀνίατα νοσούσης.

Ανάστησον κείμενον εἰς βάθη με κακῶν, τοὺς νῦν πολεμοῦντας με πολέμησον ἐχθρούς, τρωθέντα ἀτόποις ἡδοναῖς τὴν ψυχήν, ἁγνὴ μὴ παρίδῃς ἀλλ᾽ οἴκτειρον καὶ σῶσον.

Ιάτρευσον ἄχραντε τὰ πάθη τῆς ἐμῆς καρδίας κυήσασα τῶν πάντων ἰατρὸν καὶ τῆς τῶν δικαίων δεῖξον μέτοχον παρθένε μερίδος, Χριστὸν ἐκδυσωποῦσα.

Ως κρίνον κοιλάσι σε τοῦ βίου εὑρηκώς, ἐν σοὶ κατεσκήνωσεν ὁ πάντων φυτουργός, ὀσμαῖς ἐναρέτοις, καὶ σεμνότητος νῦν, κατευωδιάζων ἡμᾶς θεογεννήτωρ.

www.tezaurliturgic.ro

Ἄλλος τοῦ Ἁγίου. Κάμινος ποτὲ πυρός.

Μάστιξι σφοδραῖς Ἀρτέμιε τὸ σῶμα ἐκδαπανόμενος, τὴν ἀντίδοσιν τὴν μέλλουσαν, ἣν νέμει σοι κραυγάζοντι, ἔνδοξε ὁ Δεσπότης, ὁ δι' αὐτὸν πάσχων ἅγιε.

Αἵμασι τοῖς σοῖς, ἡ γῆ καθηγιάσθη, καὶ ἰατρεῖον ἀναδέδεικται, σῶμα τὸ πολύαθλον, πᾶσαν δαιμόνων πάντοτε, βλάβην ἀποδιῶκον σοι προσφευγόντων Ἀρτέμιε.

Κόσμος ἀθλητῶν, ἐδείχθης τὰ ἐν κόσμῳ, εὐσεβοφρόνως ἀπωσάμενος, καὶ τὰ ὑπερκόσμια βραχυτάτῳ ἐξωνούμενος, τιμίῳ σου Ἀρτέμιε, αἵματι ἀνακράζων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἄκλειστος λιμήν, χειμαζομένοις ὤφθης, καὶ θαλαττεύουσιν ἑκάστοτε, κινδύνοις καὶ θλίψεσι, καὶ παθήμασιν Ἀρτέμιε ἐν ᾧ διασωζόμενος χάριτι ἀνυμνοῦμεν, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Ρεύσαντας ἡμᾶς, πικρὰ τοῦ ξύλου βρώσει, καὶ συμπτωθέντας ὀλίσθημα Πάναγνε ἀνέπλασας πλαστουργὸν ἀποικήσασα, καὶ λόγον ἀνυπόστατον, ἄχραντε ᾧ βοῶμεν, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

Ὁ θαυμαστὸς ἐν μάρτυσιν, ἀριστεύσας λαμπρότατα Ἰουλιανοῦ ὁ καθελὼν τὴν ἔπαρσιν, λιμὴν ὁ σωτήριος, τοῖς ἐν πελάγει οὖσι δεινῶν ὁ περιφανὴς καὶ εὐκλεὴς

www.tezaurliturgic.ro

στρατιώτης, Χριστοῦ τοῦ Βασιλέως, τῶν θαυμάτων ἡ βρύσις, ὑμνείσθω χαρμοσύνως, Ἀρτέμιος ὁ μέγας.

Ὁλολαμπὴς ὡς ἥλιος τῷ φαιδρῷ στερεώματι, τῷ τῆς Ἐκκλησίας, ἐμφανῶς ἀνέτειλας ἀκτῖσι τῶν ἄθλων σου, φωταγωγῶν τὰ πέρατα καὶ μαρμαρυγαῖς τῶν ὑπερλάμπρων θαυμάτων, παθῶν διώκων σκότος, καὶ δαιμόνων τὴν νύκτα Ἀρτέμιε σκεδάζων μενόντων σῷ τεμένει.

Στίχ. Εὐλογοῦμεν Πατέρα Υἱόν καὶ Ἅγιον Πνεῦμα τόν Κύριον. Καὶ νῦν.

Ὤμοις βουνεύροις ἔνδοξε, καὶ τριβόλοις τῷ σῶμα σου πληγωθεὶς ἐδέξω, ἀφθαρσίας ἔνδυμα, ἐνδύσας αἰώνιον, τὸν δυσμενῆ αἰσχύνην τε, καὶ στεφανηφόρος, μεταβὰς πρὸς τὴν λῆξιν, τὴν θείαν ἀνακράζεις, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε Ἀρτέμιε τὸν Κτίστην.

Θεοτοκίον.

Νέον ὡς βρέφος τέτοκας, τῷ Πατρὶ καὶ τῷ Πνεύματι ἄχραντε Παρθένε σύμφυῶς νοούμενον, Χριστὸν τὸν Θεὸν ἡμῶν ὃν ὁ κλεινὸς Ἀρτέμιος, καθομολογήσας, ἐναθλῇ τούτου χάριν, μεθ' οὗ σε Παναγία μακαρίζουσι πίστει, λαοὶ φυλαὶ καὶ γλῶσσαι, εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος· τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλειν σοι· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦται εἰς πάντας τοὺς αἰῶνας.

www.tezaurliturgic.ro

Ὠδὴ θʹ. ὁ εἱρμός.

Τὴν φωτοφόρον νεφέλην ἐν ᾗ ὁ πάντων Δεσπότης, ὡς ὑετὸς ἐξ οὐρανοῦ ἐπὶ πόκον κατῆλθε, καὶ ἐσαρκώθη δι' ἡμᾶς, γενόμενος ἄνθρωπος, ὁ ἄναρχος μεγαλύνωμεν πάντες, ὡς Μητέρα τοῦ Θεοῦ ἡμῶν ἁγνήν.

Φιλαμαρτίμων ὑπάρχων, ἐν ἀμελείᾳ διάγω, καὶ τὸ κριτήριον ἁγνὴ τὸ ἀδέκαστον τρέμω· ἐν ᾧ με τήρησον ταῖς σαῖς ἁγίαις δεήσεσιν ἀνεύθυνον, ἀκατάκριτον ὅπως ὡς προστάτην μακαρίζω σε ἀεί.

Φρίττω τὸ βῆμα Παρθένε, καὶ τὸ ἀλάθητον ὄμμα, τοῦ σοῦ υἱοῦ, πράξεις αἰσχρὰς ἐπὶ γῆς ἐκτελέσας· καὶ διὰ τοῦτο σοι βοῶ πανεύσπλαγχνε Δέσποινα βοήθει μοι, καὶ τῆς τότε ἀνάγκης, ἐξελοῦμαι καὶ διάσωσον ἁγνή.

Ὡς φοβερὰ ἡ ἡμέρα τῆς ἐξετάσεως κόρη, ὡς ἡ ἀπόφασις φρικτὴ ὡς δεινὴ ἡ αἰσχύνη· τὶς ὑποστήσεται λοιπὸν πανάχραντε Δέσποινα· ἐλέησον, τὴν ἀθλίαν ψυχήν μου, καὶ πρὸ τέλους δός μοι ἄφεσιν ἁγνή.

Φῶς ἡ τεκοῦσα τὸ θεῖον· ἐσκοτισμένον με πάσαις, ταῖς μεθοδίαις τοῦ ἐχθροῦ καὶ ῥαθύμως βιοῦντα, καὶ παροργίζοντα Θεόν, πανάμωμε φώτισον ὁδήγησον, πρὸς καλὰς ἐργασίας, ὡς αἰτία οὖσα πάντων τῶν καλῶν.

Φωτιστικαῖς λαμπιδόσι τοῦ ἀνατείλαντος λόγου, ἐκ τῆς ἁγίας σου γαστρὸς Θεοτόκε Παρθένε, καὶ καταυγάσαντος τῆς γῆς τὰ πέρατα, φώτισον τὴν ψυχήν μου, ἡδονῶν ἀμαυρώσει σκοτισθεῖσαν ἵνα πίστει σε ὑμνῶ.

www.tezaurliturgic.ro

Ἄλλος τοῦ Ἁγίου. Ἀνάρχου Γεννήτορος.

Ἰδεῖν ἐφιέμενος, τὰ κάλλη τὰ οὐράνια τὰ φαινόμενα κόσμου κάλλη παρέδραμες, καὶ καλοποιΐα τῶν ἄθλων ὡραϊσθεὶς Ἀρτέμιε μάρτυς καλὸν τὸ ἀκρότατον, εὐφραινόμενος κατείληφας.

Ὡς ὄρθρος ὡς ἥλιος ἡ μνήμη σου φωτίζουσα, τῶν πιστῶν τὰς καρδίας μάκαρ ἀνέτειλε, σὺ γὰρ καὶ φωτὸς καὶ ἡμέρας φωτοειδὴ ὤφθης κληρονόμος, σκεδάζων Ἀρτέμιε τὴν ὀμίχλην τῶν ψυχῶν ἡμῶν.

Σκιρτήσωμεν σήμερον πνευματικῶς χορεύοντες Ἀρτεμίου τὴν μνήμην τοῦ θείου μάρτυρος, ψάλλωμεν Θεῷ ἐν αἰνέσει, τῷ θαυμαστῷ ὄντι ἐν ἁγίοις καὶ καθαγιάζοντι τοὺς ἐν πίστει τοῦτον σέβοντας.

Ἡ θήκη σου ἡ βρύουσα, ἀπαύστης τά ἰάματα τούς πιστούς προσκαλεῖται πόθῳ ἀρρύσασθαι εἰς σωματικήν εὐρωστίαν, εἰς ψυχικήν ὄντως σωτηρίαν παμμάκαρ Ἀρτέμιε, πρεσβευτά τῶν εὐφημούντων σε.

Φωτί με καταύγασον, τοῦ σοῦ προσώπου Κύριε, ῥαθυμίας τῷ σκότει συγκαλυπτόμενον, ἔχων δυσωποῦσαν σε Λόγε, τὴν ἀληθῆ, ἁγνήν σου Μητέρα, ἀγγέλων λαμπρότητας, καὶ τὸν ἔνδοξον Ἀρτέμιον.

Ἄλλος. Ἐξέστη ἐπὶ τοῦτο ὁ οὐρανός.

Ἡγίασεν ἀθλήσαντα καρτερῶς, ὁ Θεὸς σε παμμάκαρ, ὁ ἅγιος ὃν ἐκτενῶς, αἴτησαι ἐκπέμψαι ἁγιασμόν, καὶ φωτισμὸν καὶ λύτρωσιν, τῶν ἁμαρτημάτων πᾶσιν ἡ-

www.tezaurliturgic.ro

μῖν, Ἀρτέμιε τοῖς μέγαν προστάτην σε πλουτοῦσι, καὶ ἀντιλήπτορα θερμότατον.

Ζεούσης ἐκ καρδίας πόθῳ τῷ σῷ, τῷ σεπτῷ σου ναῷ νῦν ἐμμένοντας, μάρτυς Χριστοῦ, θαυμάτων προχέοντι ποταμοὺς ταῖς σαῖς πρεσβείαις λύτρωσαι, ἔργων ψυχοφθόρων κατακλυσμῷ, παθῶν τε δυσωδίας, ὀσφράδια δὲ δεῖξον, αὐτοῦ Κυρίου εὐωδέστατε.

Ἰδού σοι τῆς ψυχῆς μου τῆς ταπεινῆς, τῷ καὶ θερμῷ ἀντιλήπτορι τὴν πενιχράν ταύτην προσενήνοχας προσφοράν, τὸ δουλικὸν λειτούργημα μάρτυς εὐγνωμόνως, ἀποπληρῶν, ἧ πρόσχες ἀγαπήσας τὴν γνώμην πρὸ τῶν ἔργων, καὶ πρὸ τοῦ δώρου τὴν προαίρεσιν.

Θεοτοκίον.

Φυλάξας σε Παρθένον ὁ ἐκ τῶν σῶν ἀνατείλας λαγόνων ἀνέσπερων, ὡς ἀληθῶς, ἥλιος παρθένε τὸν ἀθλητήν, Ἀρτέμιον ἐλάμπρυνε, διηγωνισμένον καρτερικῶς, μεθ' οὗ αὐτὸν δυσώπει, ἡμᾶς κατοικτηρῆσαι, τοὺς εὐσεβῶς σε μακαρίζοντας.

Καταβασία.

Ἅπας γηγενὴς σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος πανηγυριζέτω δὲ, ἀΰλων νόων φύσις γεραίρουσα τὰ ἱερὰ θαυμάσια τῆς θεομήτορος καὶ βοάτω χαίροις παμμακάριστε Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

82

www.tezaurliturgic.ro

Ἐξαποστειλάρια. Πρὸς τό: Γυναῖκες ἀκουτίσθητε.

Συνὼν τῷ παντοκράτορι, Θεῷ μάρτυς Ἀρτέμιε, καὶ ἀστραπαῖς ταῖς ἐκεῖθεν, λαμπόμενα ἀθλοφόρε, τῶν ἐκτελούντων μέμνησο, τὴν ἱερὰν καὶ πάμφωτον, πανήγυρίν σου ᾄσμασι, τοῦ λυτρωθῆναι παντοίων, ἐπιφορῶν σαῖς πρεσβείαις.

Ἕτερον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Παρεστηκὼς Ἀρτέμιε τῇ ἁγίᾳ Τριάδι, καὶ ἀστραπαῖς λαμπόμενος, ταῖς ἐκεῖθεν πλουσίως, ἐξ οὐρανοῦ ἐποπτεύεις, τοὺς τιμῶντας σε πόθω, μεγαλομάρτυς ἔνδοξε, συμμαχῶν θείοις ὅπλοις, ὡς τοῦ Χριστοῦ Στρατιώτης ἄριστος ἀθλοφόρε, τῷ σταυροφόρῳ Ἄνακτι, κατ᾽ ἐχθρῶν πολεμίων.

Θεοτοκίον.

Εὐλογημένη Πάναγνε, Θεοτόκε Μαρία, Χριστιανῶν τὸ καύχημα, τῶν Ἀγγέλων ἡ δόξα, καὶ ἀθλοφόρων τὸ κλέος, κράτος τεῖχος καὶ σκέπη καὶ ὀχυρὸν προπύργιον, φύλαξ τε καὶ προστάτης καὶ βοηθός, ἐν κινδύνοις φάνηθι τοῖς σοῖς δούλοις ἐν σοι γὰρ ἐγκαυχώμεθα, προστασία τοῦ κόσμου.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

**Ἱστῶμεν Στίχ. στ΄. καὶ ψάλλομεν στιχηρὰ Προσόμοια.**

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Τῇ παμφαεῖ πανηγύρει τοῦ θείου μάρτυρος, εὐωχηθῶμεν πάντες καὶ πιστῶς εὐφρανθῶμεν, φιλέορτοι τιμῶντες φαιδρὰν ἑορτὴν τῆς αὐτοῦ τελειώσεως, ἀσματικῶς ἀνυμνοῦντες Χριστὸν τὸν Θεόν, τὸν δοξάσαντα τὴν μνήμην αὐτοῦ.

Τὸν ἀριστέα τῆς ἄνω στρατολογίας πιστοί, ὡς καρτερὸν ὁπλίτην, τῆς ἡμῶν πολιτείας συμφώνως συνελθόντες, ᾠδαῖς μυστικαῖς, εὐφημήσωμεν λέγοντες, ἀξιοθαύμαστε μάρτυς τοῦ Ἰησοῦ ὑπερεύχου τῶν τιμώντων σε.

Ἐπὶ τῷ θείῳ τεμένει τοῦ θείου μάρτυρος, Χριστιανῶν τὰ πλήθη συνηθροίθη ἐνθέως, τὸν ὕμνον ἀναπέμψαι, ζεούσης ψυχῆς, ἐκ βοῶντα καὶ λέγοντα, χαίροις Χριστοῦ ἀθλοφόρε θεραπευτὰ τοῖς ἐν νόσοις κινδυνεύουσιν.

**Ἕτερα στιχηρὰ Προσόμοια ἦχος ὁ αὐτός.**
**Πανεύφημοι μάρτυρες.**

Μάρτυς γενναιόφρων τοῦ Χριστοῦ, τῇ στερρᾷ ἀθλήσει σου τοῦ δυσμενοῦς κατεπάτησας, τὰ μηχανήματα, προσπαλαίσας τοῦτον, καὶ Χριστῷ εὐπρόσδεκτος, θυσία προσηνέχθης Ἀρτέμιε˙ καὶ νῦν παρίστασαι, τῷ τῶν ὅλων βασιλεύοντι εἰς αἰῶνας συναγαλλιώμενος.

www.tezaurliturgic.ro

Σταυρῷ ὁπλισάμενος Χριστοῦ, μάρτυς ἀξιάγαστε, κατὰ τῆς πλάνης ἐχώρησας, καὶ τὸν ἀντίπαλον, στερροτάτῃ γνώμῃ, καρτερῶς ἀνθέστηκας, καὶ τοῦτον ἐνίκησας σαφέστατα συμβασιλεύων νῦν, τῷ Δεσπότῃ καὶ τῷ Θεῷ ἡμῶν, μνείαν ποίει, ὑπὲρ τῶν τιμώντων σε.

Μαρτύρων ἀγλάϊσμα σοφέ, ταῖς πέτραις σφιγγόμενος, Χριστὸν τὴν πέτραν τὴν ἄρρηκτον, τρανῶς ἐκήρυξας· ἀλλ' οὐκ ἐξῃρνήσω, καὶ νῦν συνηρίθμησαι, Ἀγγέλων τοῖς χοροῖς ἀγαλλόμενος, μεθ' ὧν ἱκέτευε, τῷ Σωτῆρι καὶ Θεῷ ἡμῶν δωρηθῆναι ἡμῖν τὰ ἐλέη σου.

Δόξα, Ἦχος Πλ. α'.

Σαλπίσωμεν ἐν σάλπιγγι ἀσμάτων χορεύσωμεν ἑόρτια, καὶ κροτήσωμεν χεῖρας σήμερον. Τῇ ἐνδόξῳ πανηγύρει τοῦ ἀθλοφόρου Χριστοῦ· στρατιαὶ οὐράνιοι εὐφραινέσθωσαν, καὶ τὸν στρατιώτην τοῦ μόνου βασιλέως, βασιλέα ἔχθιστον, ἰσχυρῶς νενηκότα, νῦν σὺν ἀνθρώποις θείοις ὕμνοις θαυμαζέσθωσαν, ἡ γῆ τε καὶ ἡ θάλασσα, τὰ τοῦ λαμπροῦ φωστῆρος παράδοξα σημεῖα κατὰ χρέος εὐφημήτωσαν, ἡ νεότης τὸν χαλινόν, οἱ ἐν τῷ γήρᾳ τὴν βακτηρίαν, οἱ ἐν συμφοραῖς τὸν προστάτην, οἱ ἄποροι τὸν πλουτιστήν, οἱ ἐν εὐπορίᾳ τὸν οἰκονόμον οἱ ἡσυχασταὶ τὴν παραμυθίαν, οἱ ἐν πελάγει τὸν συμπλωτῆρα, σὺν πᾶσι τὸν ἑαυτῆς στερρὸν ὑπέρμαχον, ἡ Ἐκκλησία Χριστοῦ καθικετεύουσα οὕτω βόησον· περίδοξε Ἀρτέμιε, πρόφθασον, ἐξελοῦ ἡμᾶς, ἐκ περιστάσεως πάσης· καὶ σῶσον τοὺς ἀνυμνοῦντας σε ταῖς ἱκεσίαις σου.

www.tezaurliturgic.ro

Καὶ νῦν. Θεοτοκίον, ὁ αὐτός.

Μακαρίζομεν σε Θεοτόκε Παρθένε· καὶ δοξάζομεν σε οἱ πιστοὶ κατὰ χρέος· τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν· καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη.

**Δίδεται ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς ἐκ τῆς κανδήλας τοῦ Ἁγίου ψάλλοντες τὰ παρόντα ἰδιόμελα.**

Ἦχος β΄.

Τὸν νοερὸν φωστῆρα τῆς πίστεως, Ἀρτέμιον τιμήσωμεν ὅτι ἤλεγξε βασιλέα τὸν ἔχθιστον, καὶ τῷ αἵματι τοῦ μαρτυρίου αὐτοῦ, τὴν Ἐκκλησίαν ὁ Θεὸς ἐπορφύρησεν· ὅθεν καὶ ἀπέλαβε τῶν ἰαμάτων τὴν χάριν τὴν ἄφθονον, τοῦ ἰᾶσθαι τῆς νόσου, τῶν πιστῶς προστρεχόντων, ἐν τῇ σορῷ τῶν λειψάνων αὐτοῦ.

Ἦχος δ΄.

Ἀσματικοῖς ἐγκωμίοις πιστοὶ σήμερον ὁμοφρόνως τιμήσωμεν Ἀρτέμιον τὸν ἐνδοξότατον· οὗτος γὰρ βασιλέα ἤλεγξε παρανομώτατον, και βασάνους ὑπομείνας πολλάς, καὶ στρεβλώσεις, τὸ αἷμα αὐτοῦ προθύμως ἐξέχεεν ὑπὲρ τῆς Χριστοῦ ὁμολογίας· ὅθεν θαυμάτων χάριν εἰληφὼς παρὰ Θεοῦ, θεραπεύειν νοσήματα· πλουσίως τοῖς αὐτῷ προσεδρεύουσι, διὸ Χριστὲ ὁ Θεός, ὁ τὸν σὸν ἀθλοφόρον ἀξίως ἐνισχύσας διάσωσον καὶ ἡμᾶς ἐκ παντοίων πειρασμῶν καὶ θλίψεων, ταῖς αὐτοῦ ἱκεσίαις ὡς εὔσπλαγχνος.

www.tezaurliturgic.ro

Δόξα, πλ. δ'.

Εἰλικρινῶς σὲ ποθήσας, ὁ ἔνδοξος ἀθλοφόρος Χριστὲ ὁ Θεός, τῷ γὰρ σῷ φωτὶ καταυγαθείς, καὶ τοῖς ὅπλοις τῆς πίστεως θωρακισθείς, τὸν τύραννον Ἰουλιανόν, καὶ ἀποστάτην κατῄσχυνας, καὶ τοῦ σταδίου ἐν μέσῳ τρανῶς σὲ ἐκήρυξεν, Υἱόν, καὶ Λόγον τοῦ ἀοράτου Πατρός, μεθ' οὗ σὺν τῷ ἁγίῳ Πνεύματι, ἀδιαλείπτως σοι παριστάμενος, δυσωπεῖ ἐκτενῶς, τοῦ ρυσθῆναι πάσης περιστάσεως, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Δέσποινα πρόσδεξε...**

**ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**

**Τὰ τυπικὰ καὶ οἱ μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ'. καὶ στ'. ᾠδή.**
**Ἀπόστολον καὶ Εὐαγγέλιον.**
**(Ζήτει τῇ Κ ΣΤ' τοῦ ἰδίου μηνός).**

**ΜΕΓΑΛΥΝΑΡΙΑ ΤΟΥ ΑΓΙΟΥ**

**Προσόμοια, «Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν»**

Χαίροις ὦ Ἀρτέμιε τοῦ Χριστοῦ, μάρτυς ἀθλοφόρε ὅτι ἤλεγξε δυσεβῆ, Ἰουλιανὸν τὸν παραβάτην, καὶ Χριστὸν κηρύξας Θεὸν ἀληθέστατον.

Σῶσον ἡμᾶς πάντας υἱὲ Θεοῦ, διὰ μεσιτείας, Ἀρτεμίου τοῦ ἀθλητοῦ, ὅπως ἐν εἰρήνῃ, παρέλθωμεν τὸν βίον καὶ δόξης αἰωνίου ἀξιωθείημεν.

Σῶσον με Ἀρτέμιε ἀθλητά, σῶσον με τὸν ἀχρεῖον, ὅπως εὕρω παρὰ Θεοῦ, ἔλεος καὶ χάριν, καὶ δόξης ἀϊδίου· ἵνα σὺν σοὶ δοξάζω, Θεὸν τὸν εὔσπλαγχνον.

www.tezaurliturgic.ro

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

## ΑΠΟΛΥΤΙΚΙΟΝ

Μαρτύρων ἀγλάϊσμα τῆς Ἐκκλησίας Χριστοῦ καὶ λύχνος ἀείφωτος τῆς οἰκουμένης σοφέ, ἐδείχθης Ἀρτέμιε, ἔλαμψας ἐν τῷ κόσμῳ δι' ἀπείρων θαυμάτων, ἤλεγξας καὶ ἀνόμων τὴν σκοτόμαιναν μάκαρ, διὸ ἐν παρρησίᾳ Χριστῷ, πρέσβευε σωθῆναι ἡμᾶς.

Ἕτερον.

Τῶν αἱμάτων τῷ λύθρῳ ἐπισταζόμενος· τῷ Κυρίῳ παρέστης μάρτυς Ἀρτέμιε. Ὃν ἱκέτευε ἀεὶ κατοικτιρῆσαι με σοφὲ, τὸν ἀτόποις λογισμοῖς καὶ ἐργασίαις πονηραῖς ἀφρόνως κατεγνωσμένον· ἵνα πιστῶς εὐφημῶ σε τῇ προστασίᾳ σου τειχιζόμενος.